www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΥ ΑΠΟΣΤΟΛΟΥ

# ΟΝΗΣΙΜΟΥ

Δρος ΧΑΡΑΛΑΜΠΟΥΣ Μ. ΜΠΟΥΣΙΑ
Μ. ΥΜΝΟΓΡΑΦΟΥ
ΤΗΣ ΤΩΝ ΑΛΕΞΑΝΔΡΕΩΝ ΕΚΚΛΗΣΙΑΣ

ΑΘΗΝΑΙ 2004

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΥ ΑΠΟΣΤΟΛΟΥ
# ΟΝΗΣΙΜΟΥ



ΑΘΗΝΑ 2004

www.tezaurliturgic.ro

# ΠΡΟΛΟΓΟΣ

**Παν. Ἀρχιμανδρίτου κ. Παντελεήμονος Πούλου**
**Ἱεροκήρυκος Ἱ. Ἀρχιεπισκοπῆς Ἀθηνῶν**

Γιά πολλά χρόνια ὁ Σύλλογος Συμπαραστάσεως Κρατουμένων «Ὁ Ὀνήσιμος» τελοῦσε τήν Πανηγυρικήν Θείαν Λειτουργίαν εἰς τόν Ἱερόν Ναόν τῆς Χρυσοσπηλιωτίσσης εἰς Ἀθήνας.

Παρετήρησα ὅτι δέν ὑπῆρχε πλήρης ἀσματική Ἀκολουθία τοῦ Ἁγίου.

Ἀφοῦ προηγουμένως συνεννοήθηκα μέ τόν Σύλλογο παρεκάλεσα τόν ὑμνογράφον κ. Χαράλαμπον Μιχ. Μπούσιαν να συγγράψη ειδικήν Ἀκολουθίαν, ὡς καί ἔγινε.

Ἡ ἔκδοσις τῆς Ἱερᾶς Ἀκολουθίας θά βοηθήση τούς φιλοθέους καί φιλοχρίστους χριστιανούς νά γνωρίσουν τόν Ἅγιο Ὀνήσιμο πού εἶναι ὁ προστάτης τῶν εὑρισκομένων ἐν τῇ φυλακῇ, ὅπως καί τῶν ἀποφυλακισθέντων πού ἔχουν τόσο ἀνάγκη.

Αὐτός ὁ τομέας εἶναι πολύ εὐαίσθητος καί ἔχει ἀνάγκη καί πάρα πολλούς ἐργάτες νά προσφέρουν ὅ,τι μποροῦν μέ ὅλη τους τήν ψυχή.

*Ἀρχιμ. Παντελεήμων Ποῦλος*
*15 Φεβρουαρίου 2004*
*ἑορτή Ἁγίου Ὀνησίμου.*

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ
# ΚΑΙ
# ΠΑΝΕΥΦΗΜΟΥ ΑΠΟΣΤΟΛΟΥ
# ΟΝΗΣΙΜΟΥ

Ἐποιήθη ὑπό τοῦ
Δρος Χαραλάμπους Μ. Μπούσια
Μεγάλου Ὑμνογράφου
τῆς τῶν Ἀλεξανδρέων Ἐκκλησίας

www.tezaurliturgic.ro




**Ἀπολυτίκιον Ἁγίου Ὀνησίμου**
**Ἦχος πλ. α΄. Τόν συνάναρχον Λόγον.**

Τόν ὀνήσιμον χάριν πιστοῖς πηγάζοντα, πνευματικόν Παύλου τέκνον καί μιμητήν τῆς αὐτοῦ ἀγωγῆς καί παθημάτων ἀναμέλψωμεν κράζοντες· δοῦλε Ἰησοῦ ἀπελεύθερε, Αὐτόν ἀπαύστως θερμῶς δυσώπει ὄνησιν βίου βραβεῦσαι ἡμῖν ἀμείνονος, Ὀνήσιμε.

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΕΝΔΟΞΟΥ ΚΑΙ ΠΑΝΕΥΦΗΜΟΥ ΑΠΟΣΤΟΛΟΥ ΟΝΗΣΙΜΟΥ

Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ ΙΕ΄ Φεβρουαρίου.

Ποίημα Δρος Χαραλάμπους Μ. Μπούσια

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Μετά τόν Προοιμιακόν εἰς τό *«Κύριε ἐκέκραξα»* ἱστῶμεν στίχους δ΄ καί ψάλλομεν τά ἑξῆς Προσόμοια.

**Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.**

Τόν τοῦ Φιλήμονος δοῦλον ἀκολουθήσαντα ταῖς τρίβοις ἀποστόλου θεορρήμονος, Παύλου, Ὀνήσιμον, τόν δοῦλον ὄντως Θεοῦ εὐπειθέστατον μέλψωμεν καί τό μαρτύριον, πάντες, αὐτοῦ λαμπρῶς γεγηθότες εὐφημήσωμεν.

Ὅνπερ υἱόν κατά πνεῦμα Παῦλος ἀπέκτησεν ἐν φυλακῇ εὐσχήμως, οἱ πιστοί, κατά χρέος, Ὀνήσιμον τόν θεῖον, δοῦλον Θεοῦ ἀπελεύθερον φρόνημα ἔχοντα, μέλψωμεν μνήμην αὐτοῦ ᾠδαῖς μελιρρύτοις καταστέφοντες.

www.tezaurliturgic.ro

Ἀθλητικῇ παῤῥησίᾳ Θεόν ἐδόξασας καί σαῖς ῥοαῖς αἱμάτων κατεπότισας ῥίζαν τῆς πίστεως Κυρίου, περικλεές ἀθλοφόρε, Ὀνήσιμε, καρτεροψύχων μαρτύρων ὑπογραμμός καί ὑπόδειγμα γενόμενος.

Τῆς εὐσεβείας τό στόμα, σεπτόν Ὀνήσιμον, καί τοῦ Εὐαγγελίου ἱερόν ὑπηρέτην ὡς Παύλου ἀποστόλου ἐν τοῖς δεσμοῖς μαθητήν εὐφημήσωμεν τόν ἀληθείας ὀφθέντα μυσταγωγόν καί φωστῆρα παμφαέστατον.

**Δόξα. Ἦχος β΄.**

Τόν κατά πνεῦμα υἱόν ἐν φυλακῇ γεννηθέντα τοῦ σεπτοῦ καί οὐρανοβάμονος ἀποστόλου Παύλου, Ὀνήσιμον τόν πανεύφημον, οἱ πιστοί, ἀνυμνήσωμεν· οὗτος γάρ δοῦλος Θεοῦ τοῦ Ὑψίστου χρηματίσας σεμνότατος καί κῆρυξ τῆς χάριτος διαπρύσιος ἀθλητικῶς ἠξιώθη τόν παρόντα βίον τελέσαι· ἐπαξίως οὖν τυχών ἐπάθλων παρά τοῦ διδασκάλου Χριστοῦ ἐν τῇ ἀγήρῳ μακαριότητι ἀδιαλείπτως Αὐτῷ πρεσβεύει ὑπέρ τῶν ψυχῶν ἡμῶν.

**Καί νῦν. Θεοτοκίον.**

Τήν πᾶσαν ἐλπίδα μου εἰς σέ ἀνατίθημι· Μήτηρ τοῦ Θεοῦ, φύλαξόν με ὑπό τήν σκέπην σου.

**Ἀπόστιχα. Ἦχος β΄. Οἶκος τοῦ Εὐφραθᾶ.**

Παύλου τόν μαθητήν, Ὀνήσιμον τόν θεῖον, ὁμότροπον ὀφθέντα ἐν λόγοις καί ἐν ἄθλοις αὐτοῦ ἀνευφημήσωμεν.

**Στίχος.** Εἰς πᾶσαν τήν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

www.tezaurliturgic.ro

Ὄνησιν βιοτῆς βραβεύεις τῆς ἀγήρω τοῖς πόθῳ σε τιμῶσι, τοῦ Λόγου ὑπηρέτα, Ὀνήσιμε ἀπόστολε.

**Στίχος.** Οἱ οὐρανοί διηγοῦνται δόξαν Θεοῦ.

Ἔλαμψας ὡς ἀκτίς τῇ οἰκουμένῃ πάσῃ ἀκτῖσιν εὐσεβείας καί μαρτυρίου, πάτερ Ὀνήσιμε, ἀπόστολε.

**Δόξα. Τριαδικόν.**

Λόγον μονογενῆ Θεοῦ τοῦ προανάρχου τοῦ Πνεύματος ἰσχύϊ ἐκήρυξεν ἐν κόσμῳ ὁ θεαυγής Ὀνήσιμος.

**Καί νῦν. Θεοτοκίον.**

Ἔβλυσας τήν ζωήν τῷ κόσμῳ, Θεοτόκε, τήν θείαν καί ἀγήρω, Χριστόν τόν ζωοδότην, ὡς κρήνη ζωοπάροχος.

***Νῦν ἀπολύεις...*, τό Τρισάγιον, τό Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καί Ἀπόλυσις.**

www.tezaurliturgic.ro

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετά τόν Προοιμιακόν τό *«Μακάριος ἀνήρ»*, εἰς δέ τό *«Κύριε ἐκέκραξα»* ἱστῶμεν στίχους στ΄ καί ψάλλομεν τά ἑξῆς Προσόμοια.

**Ἦχος δ΄. Ἔδωκας σημείωσιν.**

Χάριν τήν τοῦ Πνεύματος τοῦ παναγίου δεξάμενος ἐν καρδίᾳ, Ὀνήσιμε, ὁμότροπος πέφηνας θείων Ἀποστόλων καί τοῦ θεηγόρου Παύλου, τοῦ κήρυκος Ἐθνῶν, σύσκηνος, μάκαρ, καί ὁμοδίαιτος ἐν τοῖς δεσμοῖς· διόπερ νῦν τήν πανσεβάσμιον μνήμην σου ἐκτελοῦντες πρεσβείαις σου πρός Θεόν ἐκδεχόμεθα.

Βλάστημα περίδοξον Κολοσσαέων, Ὀνήσιμε, ἀποστόλου Φιλήμονος ὤν δοῦλος ἐπόθησας τήν ἐλευθερίαν, ὡς αὐτό δηλοῦται εἰς Παύλου τήν ἐπιστολήν καί πρός ἀπόστολον τοῦτον, ἔδραμες τόν ἐν τῇ Ῥώμῃ δέσμιον, ᾧ κατά χάριν ὑπήντησας τῷ εἰς πίστιν ἑλκύσαντι σέ Χριστοῦ τοῦ Παντάνακτος.

Ἄπιστον καί ἄχρηστον δοῦλον ποτέ τῷ Φιλήμονι μετεποίησεν εὔχρηστον αὐτῷ καί τοῖς πέρασιν κτίσεώς σε Παῦλος ὁ οὐρανοβάμων, ᾧ διηκόνησας καλῶς ἐν Ῥώμῃ, πάτερ, σοφέ Ὀνήσιμε· διό σε μακαρίζοντες καί τήν ὑπέρφωτον μνήμην σου ἑορτάζοντες σήμερον μελῳδοῦμεν τούς ἄθλους σου.

www.tezaurliturgic.ro

Τέρτυλον κατῄσχυνας τόν μιαρόν εἰδωλόφρονα θεοσόφοις σου ῥήμασι, τρισμάκαρ Ὀνήσιμε, τοῦ συντρίψαντός σου πάντα τά ὀστέα ἀσπλάγχνως καί ἐλεεινῶς ἐκ σώματός σου, πάτερ πολύαθλε, τάς σάρκας ἀποσπάσαντος, τάς παρεχούσας δημίοις καί αὐτοῖς φρικτόν θέαμα, καλλιμάρτυς ἀήττητε.

Παῦλος ὁ θεσπέσιος υἱόν αὐτοῦ μεμαρτύρηκεν ἐν δεσμοῖς σε, Ὀνήσιμε, Χριστόν ἀγαπήσαντα ἐκ τῆς σῆς καρδίας, Οὗ σταυρόν ἐπ᾽ ὤμων φέρων ἐκήρυξας σαφῶς τῆς σωτηρίας τό Εὐαγγέλιον καί μέτοχος γενόμενος Αὐτοῦ παθῶν κατηξίωσαι τῆς εὐκλείας τῆς κρείττονος ἐν τῇ ἄνω λαμπρότητι.

Χαίρει ἑορτάζουσα ἡ Ἐκκλησία τοῦ Κτίσαντος τήν σεπτήν σου πανήγυριν, Ὀνήσιμε πάνσοφε, εὐσεβείας γέρας καί ἀνευφημοῦσα ᾠδαῖς καί ὕμνοις μελιχροῖς τοῦ μαρτυρίου σου κατορθώματα κραυγάζει· περιφύλαττε τῇ πανσθενεῖ ἀντιλήψει σου τήν ἀγέλην τήν ἔλλογον τοῦ Θεοῦ, Ἀρχιποίμενος.

**Δόξα. Ἦχος πλ. β΄.**

Σήμερον ἡ τοῦ ἀποστόλου Ὀνησίμου λαμπρά μνήμη ἀστραπαῖς τῆς αὐτοῦ πίστεως καί στεῤῥᾶς ἀθλήσεως καταυγάζει ἅπασαν τήν οἰκουμένην· οὗτος γάρ υἱός ἀγαπητός κατά πνεῦμα ὀφθείς τοῦ Παύλου μιμητής καί ὁμότροπος τῶν παθημάτων αὐτοῦ γέγονε καί σύναυλος ἐν τῇ πόλει τῇ ἄνω· ὡς δοῦλος οὖν Κυρίου Αὐτῷ πρεσβεύει ἀπαύστως ἐλευθερῶσαι ἡμᾶς τῆς πλάνης τοῦ διαβόλου καί ἀξιῶσαι τυχεῖν χαρμονῆς τῆς ἀτέρμονος.

www.tezaurliturgic.ro

**Καί νῦν. Θεοτοκίον.**

Τίς μή μακαρίσει σε, Παναγία Παρθένε; τίς μή ἀνυμνήσει σου, τόν ἀλόχευτον τόκον; ὁ γάρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱός μονογενής, ὁ Αὐτός ἐκ σοῦ τῆς ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεός ὑπάρχων, καί φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς· οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτόν ἱκέτευε, σεμνή Παμμακάριστε, ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

**Εἴσοδος. *Φῶς ἱλαρόν.* Τό Προκείμενον τῆς ἡμέρας καί τά Ἀναγνώσματα.**

**Καθολικῆς Β´ Ἐπιστολῆς Πέτρου τό Ἀνάγνωσμα. (Κεφ. α´ 3-11)**

Ἀδελφοί, ὡς πάντα ἡμῖν τῆς θείας δυνάμεως τοῦ Θεοῦ ἡμῶν καί Σωτῆρος Ἰησοῦ Χριστοῦ τά πρός ζωήν καί εὐσέβειαν δεδωρημένης διά τῆς ἐπιγνώσεως τοῦ καλέσαντος ἡμᾶς διά δόξης καί ἀρετῆς, δι᾽ ὧν τά τίμια ἡμῖν καί μέγιστα ἐπαγγέλματα δεδώρηται, ἵνα διά τούτων γένησθε θείας κοινωνοί φύσεως ἀποφυγόντες τῆς ἐν κόσμῳ ἐν ἐπιθυμίᾳ φθορᾶς. Καί αὐτό τοῦτο δέ σπουδήν πᾶσαν παρεισενέγκαντες ἐπιχορηγήσατε ἐν τῇ πίστει ὑμῶν τήν ἀρετήν, ἐν δέ τῇ ἀρετῇ τήν γνῶσιν, ἐν δέ τῇ γνώσει τήν ἐγκράτειαν, ἐν δέ τῇ ἐγκρατείᾳ τήν ὑπομονήν, ἐν δέ τῇ ὑπομονῇ τήν εὐσέβειαν, ἐν δέ τῇ εὐσεβείᾳ τήν φιλαδελφίαν, ἐν δέ τῇ φιλαδελφίᾳ τήν ἀγάπην. Ταῦτα γάρ ὑμῖν ὑπάρχοντα καί πλεονάζοντα οὐκ ἀργούς οὐδέ ἀκάρπους καθίστησιν εἰς τήν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπίγνωσιν· ᾧ γάρ μή πάρεστι ταῦτα, τυφλός ἐστι, μυωπάζων, λήθην λαβών τοῦ καθαρισμοῦ τῶν πάλαι αὐτοῦ

www.tezaurliturgic.ro

ἁμαρτιῶν. Διό μᾶλλον, ἀδελφοί, σπουδάσατε βεβαίαν ὑμῶν τήν κλῆσιν καί ἐκλογήν ποιεῖσθαι· ταῦτα γάρ ποιοῦντες οὐ μή πταίσητέ ποτε. Οὕτω γάρ πλουσίως ἐπιχορηγηθήσεται ὑμῖν ἡ εἴσοδος εἰς τήν αἰώνιον βασιλείαν τοῦ Κυρίου ἡμῶν καί Σωτῆρος Ἰησοῦ Χριστοῦ.

**Πρός Ἐφεσίους Ἐπιστολῆς Παύλου τό Ἀνάγνωσμα. (Κεφ. δ´ 25-ε´ 2)**

Ἀδελφοί, ἀποθέμενοι τό ψεῦδος λαλεῖτε ἀλήθειαν ἕκαστος μετά τοῦ πλησίον αὐτοῦ· ὅτι ἐσμέν ἀλλήλων μέλη. Ὀργίζεσθε καί μή ἁμαρτάνετε· ὁ ἥλιος μή ἐπιδυέτω ἐπί τῷ παροργισμῷ ὑμῶν, μηδέ δίδοτε τόπον τῷ διαβόλῳ. Ὁ κλέπτων μηκέτι κλεπτέτω, μᾶλλον δέ κοπιάτω ἐργαζόμενος τό ἀγαθόν ταῖς χερσίν, ἵνα ἔχῃ μεταδιδόναι τῷ χρείαν ἔχοντι. Πᾶς λόγος σαπρός ἐκ τοῦ στόματος ὑμῶν μή ἐκπορευέσθω, ἀλλ᾽ εἴ τις ἀγαθός πρός οἰκοδομήν τῆς χρείας, ἵνα δῷ χάριν τοῖς ἀκούουσι. Καί μή λυπεῖτε τό Πνεῦμα τό Ἅγιον τοῦ Θεοῦ, ἐν ᾧ ἐσφραγίσθητε εἰς ἡμέραν ἀπολυτρώσεως. Πᾶσα πικρία καί θυμός καί ὀργή καί κραυγή καί βλασφημία ἀρθήτω ἀφ᾽ ὑμῶν σύν πάσῃ κακίᾳ· γίνεσθε δέ εἰς ἀλλήλους χρηστοί, εὔσπλαγχνοι, χαριζόμενοι ἑαυτοῖς καθώς καί ὁ Θεός ἐν Χριστῷ ἐχαρίσατο ὑμῖν. Γίνεσθε οὖν μιμηταί τοῦ Θεοῦ ὡς τέκνα ἀγαπητά καί περιπατεῖτε ἐν ἀγάπῃ, καθώς καί ὁ Χριστός ἠγάπησεν ἡμᾶς καί παρέδωκεν ἑαυτόν ὑπέρ ἡμῶν προσφοράν καί θυσίαν τῷ Θεῷ εἰς ὀσμήν εὐωδίας.

**Πρός Ῥωμαίους Ἐπιστολῆς Παύλου τό Ἀνάγνωσμα. (Κεφ. στ´ 16-23)**

Ἀδελφοί, οὐκ οἴδατε ὅτι ᾧ παριστάνετε ἑαυτούς δούλους εἰς ὑπακοήν, δοῦλοί ἐστε ᾧ ὑπακούετε, ἤτοι ἁμαρτίας εἰς

www.tezaurliturgic.ro

θάνατον ἤ ὑπακοῆς εἰς δικαιοσύνην; χάρις δέ τῷ Θεῷ, ὅτι ἦτε δοῦλοι τῆς ἁμαρτίας, ὑπηκούσατε δέ ἐκ καρδίας εἰς ὅν παρεδόθητε τύπον διδαχῆς, ἐλευθερωθέντες δέ ἀπό τῆς ἁμαρτίας ἐδουλώθητε τῇ δικαιοσύνῃ. Ἀνθρώπινον λέγω διά τήν ἀσθένειαν τῆς σαρκός ὑμῶν. Ὥσπερ γάρ παρεστήσατε τά μέλη ὑμῶν δοῦλα τῇ ἀκαθαρσίᾳ καί τῇ ἀνομίᾳ εἰς τήν ἀνομίαν, οὕτω νῦν παραστήσατε τά μέλη ὑμῶν δοῦλα τῇ δικαιοσύνῃ εἰς ἁγιασμόν. Ὅτε γάρ δοῦλοι ἦτε τῆς ἁμαρτίας, ἐλεύθεροι ἦτε τῇ δικαιοσύνῃ. Τίνα οὖν καρπόν εἴχετε τότε ἐφ᾽ οἷς ἐπαισχύνεσθε; Τό γάρ τέλος ἐκείνων θάνατος. Νυνί δέ ἐλευθερωθέντες ἀπό τῆς ἁμαρτίας δουλωθέντες δέ τῷ Θεῷ ἔχετε τόν καρπόν ὑμῶν εἰς ἁγιασμόν, τό δέ τέλος ζωήν αἰώνιον. Τά γάρ ὀψώνια τῆς ἁμαρτίας θάνατος, τό δέ χάρισμα τοῦ Θεοῦ ζωή αἰώνιος ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν.

## ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

### Ἰδιόμελα

### Ἦχος α΄.

Εὐφραίνου καί ἀγάλλου ἡ τοῦ Χριστοῦ Ἐκκλησία τελοῦσα τήν φωτοφόρον μνήμην Ὀνησίμου τοῦ ἀποστόλου καί μάρτυρος· οὗτος γάρ παρά τούς πόδας μαθητεύσας τοῦ Παύλου ὁδηγός πιστῶν γέγονε πρός σωτηρίαν ἀλάνθαστος· μαρτυρικῷ οὖν τέλει σφραγίσας τόν βίον Κυρίῳ ἀνέδραμεν ὑπαντῆσαι τῷ παρέχοντι ἡμῖν τό μέγα ἔλεος.

### Ἦχος β΄.

Φοιτήσας παρά τῷ δεσμίῳ φωστῆρι Παύλῳ καί τόν τῆς ἀγνωσίας παλαιόν ἀπεκδυσάμενος ἄνθρωπον, τήν χάριν

www.tezaurliturgic.ro

ἐνεδύθης τοῦ πανσθενοῦς Παρακλήτου πνευματοφόρε Ὀνήσιμε· διό σε πάντες ὡς στόμα θεῖον καί κήρυκα οὐρανίων μυστηρίων καί μάρτυρα γενναιότατον οἱ πιστοί ἀξιοχρέως τιμῶντες τάς σάς ἐκζητοῦμεν πρεσβείας πρός βίον κρείττονα.

**Ἦχος γ΄.**

Ὡς τοῦ σκεύους ἐκλογῆς, τοῦ λίαν ἀγαπήσαντός σε μαθητής ἐνθεώτατος σκεῦος εὔχρηστον πρός ἀποστολήν σωτήριον τοῖς ἐζοφωμένοις τῇ ἀγνωσίᾳ πέφηνας, Ὀνήσιμε· σύ γάρ ἠθῶν ἀμέμπτων τῷ βίῳ εἰκόνα διαγράψας καί Θεόν ἀληθινόν κηρύξας, Οὗ δοῦλος εὐπειθής ἐχρημάτισας, μαρτυρίου τόν δρόμον καλῶς ἐν τῇ Ῥώμῃ τετέλεκας· καί νῦν σύν τῷ σῷ διδασκάλῳ Παύλῳ καί τοῖς δήμοις ἀποστόλων καί μαρτύρων συνευφραινόμενος ἐν σκηναῖς ἀλήκτου μακαριότητος Χριστόν ἱκέτευε σῴζεσθαι τούς σέ μακαρίζοντας.

**Ἦχος δ΄.**

Τόν δραπέτην τοῦ Φιλήμονος δοῦλον, ὅν ἡ χάρις τοῦ Πνεύματος βιαστήν ἔδειξε τῆς τῶν οὐρανῶν βασιλείας καί ὑπηρέτην τοῦ Λόγου θειότατον Ὀνήσιμον τόν ἔνδοξον, οἱ πιστοί, μακαρίσωμεν κράζοντες· σοφέ τῶν ψυχῶν οἰκονόμε, ὁ προσφοράν λογικήν καί θῦμα τέλειον σεαυτόν Κυρίῳ προσάξας μαρτυρικῶς τελειωθείς, Αὐτόν ἡμῖν ἱλέωσαι τοῖς τελοῦσιν ἐν πίστει τήν ἀεισέβαστον μνήμην σου.

**Δόξα. Ὁ αὐτός.**

Καλλιμάρτυς ἀπόστολε Ὀνήσιμε, τήν δοθεῖσάν σοι χάριν δαψιλῶς οὐρανόθεν μαρτυρικῷ αἵματί σου ἐσφράγισας· σύ γάρ τοῖς ἴχνεσι Χριστοῦ ἀκολουθήσας καί θεηγόρου Παύλου

www.tezaurliturgic.ro

τοῖς τρόποις μιμησάμενος νομίμως ἐν Ῥώμῃ ἐνήθλησας· καί νῦν σύν ἀποστόλοις καί μάρτυσι δοξαζόμενος μή παύσῃ σύν αὐτοῖς Χριστόν τόν Θεόν ἱκετεύων ὑπέρ τῶν ψυχῶν ἡμῶν.

**Καί νῦν. Θεοτοκίον.**

Ἐκ παντοίων κινδύνων τούς δούλους σου φύλαττε, εὐλογημένη Θεοτόκε, ἵνα σέ δοξάζωμεν, τήν ἐλπίδα τῶν ψυχῶν ἡμῶν.

**Εἰς τόν Στίχον. Στιχηρά Ἀπόστιχα.**

**Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.**

Χαίροις, τοῦ σκεύους τῆς ἐκλογῆς ὁ μιμητής ἐν ἀρετῇ καί ὁμόζηλος τοῦ πάθους αὐτοῦ, τρισμάκαρ, ὁ ἐπιστρέψας πολλούς ἐξ εἰδώλων πλάνης πρός τόν Κύριον, θεόφρον Ὀνήσιμε, τήν καλήν τήν ἀλλοίωσιν ὁ ἐν τῇ Ῥώμῃ ὑποστάς τοῖς διδάγμασι τοῦ παμμάκαρος Παύλου ἐνστερνισάμενος σέ τοῦ μεταποιήσαντος τόν δοῦλον Φιλήμονος εἰς δοῦλον τοῦ Ζωοδότου Χριστοῦ, Ὅν νῦν καθικέτευε διδόναι τοῖς πίστει ἐκτελοῦσί σου τήν μνήμην χαράν ἀέναον.

**Στίχος.** Εἰς πᾶσαν τήν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ.

Χαίροις, ὁ κατά πνεῦμα υἱός τοῦ ἀποστόλου Παύλου τοῦ οὐρανόφρονος καί κήρυκος οἰκουμένης ἐν φυλακῇ γεννηθείς καί αὐτοῦ τούς τρόπους μιμησάμενος, Ὀνήσιμε πάνσοφε, εὐσεβείας προπύργιον, Εὐαγγελίου κῆρυξ ὁ διαπρύσιος καί ἀήττητος ἀθλητής τοῦ Παντάνακτος· ὅθεν τήν θείαν μνήμην σου τελοῦντες γηθόμενοι καί μαρτυρίου σου πόνους τούς ἀνυποίστους γεραίροντες πρεσβείας σου θείας πρός τόν

www.tezaurliturgic.ro

Κύριον τῆς δόξης ἀπεκδεχόμεθα.

**Στίχος.** Οἱ οὐρανοί διηγοῦνται δόξαν Θεοῦ.

Χαίροις, τῆς Ἐκκλησίας φωστήρ, λελαμπρυσμένος αἴγλῃ θεῖος διδάσκαλος τῆς Ῥώμης καί Ποτιόλων, καί ὁδηγός ἀσφαλής τῶν ἐν ἀγνωσίᾳ πρός ἐπίγνωσιν, Ὀνήσιμε ἔνθεε, ἀθλητῶν ἀγαλλίαμα καρτεροψύχων καί μαρτύρων τῆς πίστεως ἀκροθίνιον καί λαμπρά ὑποτύπωσις· δοῦλος ὁ τοῦ Φιλήμονος ὁ ἅρπαξ καί ἄδικος, ὅν μετεποίησε Παῦλος εἰς ἀρετῆς ἐνδιαίτημα καί τύπον δικαίου, ὑπέρ πάντων σε τιμώντων Χριστόν ἱκέτευε.

**Δόξα. Ἦχος πλ. δ΄.**

Ὡς ἀπόστολος Χριστοῦ πνευματέμφορος καί ἀθλητής πολύαθλος διπλῶν βραβείων ἠξιώθης ἐν πόλῳ, ἀριστεῦ σταδίου, Ὀνήσιμε ἄλκιμε· ἴχνεσι γάρ ἀκολουθήσας τοῦ τῶν Ἐθνῶν κήρυκος, οὗ μαθητής ἠγαπημένος ἐχρημάτισας, ὡς καθαρά θυσία προσηνέχθης Κυρίῳ χερσί τελειωθείς ἀνόμων· καί νῦν τοῦ ξύλου τῆς ζωῆς ἀπολαύων ἐν οὐρανίῳ λειμῶνι ἀπαύστως ἱκέτευε τῷ δοτῆρι τῶν ἀγαθῶν ἐλεηθῆναι τάς ψυχάς ἡμῶν.

**Καί νῦν. Θεοτοκίον.**

Δέσποινα, πρόσδεξαι, τάς δεήσεις τῶν δούλων σου, καί λύτρωσαι ἡμᾶς, ἀπό πάσης ἀνάγκης καί θλίψεως.

***Νῦν ἀπολύεις...***
**τό Τρισάγιον καί τό Ἀπολυτίκιον.**

www.tezaurliturgic.ro

**Ἦχος πλ. α΄. Τόν συνάναρχον Λόγον.**

Τόν ὀνήσιμον χάριν πιστοῖς πηγάζοντα, πνευματικόν Παύλου τέκνον καί μιμητήν τῆς αὐτοῦ ἀγωγῆς καί παθημάτων ἀναμέλψωμεν κράζοντες· δοῦλε Ἰησοῦ ἀπελεύθερε, Αὐτόν ἀπαύστως θερμῶς δυσώπει ὄνησιν βίου βραβεῦσαι ἡμῖν ἀμείνονος, Ὀνήσιμε.

**Θεοτοκίον.**

Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος· Χαῖρε τεῖχος καί σκέπη τῶν προστρεχόντων εἰς σέ· Χαῖρε ἀχείμαστε λιμήν, καί ἀπειρόγαμε· ἡ τεκοῦσα ἐν σαρκί τόν ποιητήν σου καί Θεόν, πρεσβεύουσα μή ἐλλείπῃς, ὑπέρ τῶν ἀνυμνούντων, καί προσκυνούντων τόν Τόκον σου.

**Ἀπόλυσις.**



www.tezaurliturgic.ro

## ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετά τόν Ἑξάψαλμον, τό Ἀπολυτίκιον, ὡς ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ, μετά δέ τήν α´ Στιχολογίαν Κάθισμα.

**Ἦχος α´. Τόν τάφον Σου, Σωτήρ.**

Εὐῶδες καί τερπνόν κρίνον Κολοσσαέων χθονός τῆς ἱερᾶς κατεμύρισας Ῥώμην σοφίᾳ ἐνθέῳ σου καί ἀρίστῃ ἀθλήσει σου, Παύλου φίλτατε καί ἀγαθέ ὑπηρέτα· ὅθεν ἅπαντες λαμπρῶς, Ὀνήσιμε, ὕμνοις τούς ἄθλους σου στέφομεν.

**Δόξα. Τό αὐτό.**

**Καί νῦν. Θεοτοκίον.**

Τεκοῦσα ἐν σαρκί τόν ἀσώματον Λόγον Θεοῦ ὑπερφυῶς, Θεοτόκε Παρθένε, ἀράν τοῦ Προπάτορος τήν ἀρχαίαν διέλυσας καί ἐθέωσας τῶν χοϊκῶν ἅπαν γένος τό ἀείποτε σέ μεγαλῦνον καί πίστει δοξάζον τόν Τόκον σου.

**Μετά τήν β´ Στιχολογίαν Κάθισμα.**

**Ἦχος δ´. Ταχύ προκατάλαβε.**

Τοῦ Παύλου ὁμόζηλος καί μαθητής εὐπειθής ἐδείχθης, Ὀ-

www.tezaurliturgic.ro

νήσιμε, δοῦλε Χριστοῦ τοῦ Θεοῦ πιστέ καί πανάριστε· ὅθεν τῆς εὐσεβείας πρακτικός ὑποφήτης ὤφθης λαοῦ τῆς Ῥώμης νεουργήσας καρδίας ἐκ πλάνης τῶν εἰδώλων σοφῶς Θεοῦ πρός ἐπίγνωσιν.

**Δόξα. Τό αὐτό.**

**Καί νῦν. Θεοτοκίον.**

Χριστόν σωματώσασα ὑπερφυῶς τόν Θεόν καί μείνασα ἄ-φθορος μετά τόν τόκον, ἁγνή, τόν πάνσεπτον ὕψωσας φύσιν τήν πεπτωκυῖαν τῶν μερόπων πρός ὕψος ἄῤῥητον, Θεοτόκε Παναγία, καί δόξαν ἀΐδιον· διόπερ ἀεί σέ μεγαλύνομεν.

**Μετά τόν Πολυέλεον Κάθισμα.**

**Ἦχος γ΄. Τήν ὡραιότητα.**

Τόν θείαν ὄνησιν λαβόντα μέλψωμεν ἐκ τοῦ θεόφρονος Παύλου, ἀπόστολον, ἐν τοῖς δεσμίοις τοῖς αὐτοῦ, Ὀνήσιμον τόν θεόπνουν, τόν στεῤῥῶς ἀθλήσαντα καί εἰς θλάσιν ἁ-πλώσαντα σκέλη τά πανάγια τά αὐτοῦ ἀνακράζοντες· εὖ δοῦλε ἀγαθέ τοῦ Κυρίου, δόξης ὁ θείας ἀπολαύων.

**Δόξα. Τό αὐτό.**

**Καί νῦν. Θεοτοκίον.**

Τήν σκοτισθεῖσάν μου ψυχήν καταύγασον φωτί τῆς χάριτος τοῦ θείου Τόκου σου, ἁγνή Παρθένε, Μαριάμ, ἐλπίς τῶν ἀπηλπισμένων, καί ἀχλύν ἀπέλασον τῶν ἀπείρων πται-σμάτων μου, ὅπως εὕρω ἔλεος ἐν τῇ ὥρᾳ τῆς Κρίσεως καί πόθῳ ἀσιγήτως βοῶ σοι· Χαῖρε, ἡ Κεχαριτωμένη.

www.tezaurliturgic.ro

**Τό α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου καί τό Προκείμενον.**

Εἰς πᾶσαν τήν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ...

**Στίχος.** Οἱ οὐρανοί διηγοῦνται δόξαν Θεοῦ.

**Εὐαγγέλιον κατά Λουκᾶν (Κεφ. ι΄ 16-21).**
Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ὁ ἀκούων ὑμῶν ἐμοῦ ἀκούει...
(Ζήτει τῇ Η΄ Νοεμβρίου)

**Δόξα.** Ταῖς τοῦ Ἀποστόλου πρεσβείαις, Ἐλεῆμον, ...
**Καί νῦν.** Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ...

**Ἰδιόμελον. Ἦχος πλ. β΄.**

**Στίχος.** Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατά τό μέγα ἔλεός Σου καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τό ἀνόμημά μου.

Ὁ δραπέτης πρῴην ἅρπαξ δοῦλος τοῦ ἔμφρονος Φιλήμονος δοῦλος Κυρίου δείκνυται ταῖς τοῦ Παύλου νουθεσίαις καί αὐτοῦ ὁμόζηλος τοῖς τρόποις καί τῇ ἀθλήσει· δεῦτε, οὖν, πάντες αὐτόν καταστέψωμεν ᾄσμασι τόν σύν νοεροῖς Ἀγγέλοις τῷ θρόνῳ Θεοῦ παρεστῶτα καί ἀδιαλείπτως πρεσβεύοντα ὑπέρ τῶν ψυχῶν ἡμῶν.

Ὁ Ἱερεύς. *Σῶσον, ὁ Θεός, τόν λαόν Σου...*

**Εἶτα ὁ Κανών τοῦ Ἀποστόλου, οὗ ἡ ἀκροστιχίς·**
**«Ὀνήσιμον, δοῦλον ὑμνῶ Θεοῦ ἐλεύθερον. Χ.»**

www.tezaurliturgic.ro

## Ὠδή α΄. Ἦχος δ΄. Ἀνοίξω τό στόμα μου.

Ὀνήσιμον μέλψωμεν, ὅνπερ ὁ Παῦλος ἐγέννησεν Ἐθνῶν ὁ ἀπόστολος ἐν φυλακῇ ἀληθῶς, τοῦ Φιλήμονος τόν ἅρπαγα οἰκέτην τό πρῶτον καί ὕστερον δοῦλον τοῦ Κτίσαντος.

Νῦν ᾄσμασι στέψωμεν τόν ἀθλοφόρον Ὀνήσιμον ὡς δοῦλον ἐλεύθερον τοῦ παναγάθου Θεοῦ, τόν συντρίψαντα δεσμά τῆς ἀγνωσίας μαχαίρᾳ τῆς χάριτος τοῦ θείου Πνεύματος.

Ἡ χάρις, Ὀνήσιμε, τοῦ Παρακλήτου φοιτήσασα τῷ θείῳ σου στόματι σοφίας τῶν οὐρανῶν σέ κατέδειξε κρουνόν σωτηριώδη ἐκβλύζοντα νάματα πᾶσιν ἀείρρυτα.

### Θεοτοκίον.

Σῇ σκέπῃ προστρέχοντες μερόπων, Θεογεννήτρια, οἱ δῆμοι κραυγάζομεν· ἐπιβουλῆς τοῦ ἐχθροῦ καί κακώσεως αὐτοῦ ταχέως ῥῦσαι τούς σέ μεγαλύνοντας ὡς κόσμου σώτειραν.

## Ὠδή γ΄. Τούς σούς ὑμνολόγους.

Ἰλύος, Ὀνήσιμε, καθάρας παθῶν τῶν τοῦ Παύλου διδαχῶν ὑσσώπῳ τήν καρδίαν σου αὐτήν κατοικητήριον ἐποίησας τοῦ Πνεύματος τοῦ παναγίου, θεόληπτε.

Μεγίστης εὐκλείας ἠξιώθης, Ὀνήσιμε, μάρτυς ἐκλεκτέ, ὡς πάνσοφος ἀπόστολος καί ἀθλητής περίδοξος ἐν οὐρανῶν σκηνώμασιν Ἀγγέλοις συνευφραινόμενος.

Ὁ δοῦλος Φιλήμονος τοῦ θείου, αὐτοῦ ἀφαιρέσας τιμαλφῆ, εἰς Ῥώμην τάχος ἔδραμες, ἐν ᾗ Θεοῦ τῇ χάριτι Παύλῳ σεπτῷ

www.tezaurliturgic.ro

ὑπήντησας σῷ διδασκάλῳ, Ὀνήσιμε.

**Θεοτοκίον.**

Νοσοῦσαν ψυχήν μου, Θεοτόκε, φαρμάκῳ θεράπευσον τῶν σῶν εὐχῶν καί τόν μισόκαλον ἀπαύστως πολεμοῦντά με τῇ σῇ ἰσχΰϊ σύντριψον, εὐλογημένη Παντάνασσα.

**Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.**

Τοῦ Δεσπόζοντος ἁπάντων δοῦλε καί θεόπνευστε Εὐαγγελίου κῆρυξ, θλίψεις καί ἐπώδυνον θάνατον διά Χριστοῦ τήν ἀγάπην ὑπέμεινας, θεοειδές ἀθλοφόρε, Ὀνήσιμε· ὅθεν κρείττονος εὐκλείας καί δόξης ἔτυχες, ἧς πάντας καταξίωσον πρεσβείαις σου.

**Δόξα. Τό αὐτό.**

**Καί νῦν. Θεοτοκίον.**

Ἐκ νηδύος σου, Θεογεννῆτορ, ὁμοιώματι σαρκός τῆς δόξης ὁ ἀνέσπερος ἀνέτειλεν Ἥλιος, Οὗ ταῖς ἀκτῖσι νοός μου σκοτόμαιναν τήν ζοφεράν, Παναγία, διάλυσον, ἵνα πάντοτε ὁ ἄσωτος μεγαλύνω σε μητέρα Φωτοδότου τήν ὑπέρλαμπρον.

**Ὠδή δ΄. Ὁ καθήμενος ἐν δόξῃ.**

Δοῦλον, πάντες, τοῦ Ὑψίστου εὐπειθῆ καί ἀπόστολον μέλψωμεν τόν πρῴην δοῦλον ἀπειθῆ τοῦ Φιλήμονος τόν σύν αὐτῷ νῦν καί Παύλῳ ἀγαλλόμενον ἐν σκηνώμασι τοῖς οὐρανίοις, Ὀνήσιμον.

www.tezaurliturgic.ro

Ὀνησίμως σύν τῷ Παύλῳ τόν σόν βίον ἠνάλωσας ἐν τῇ διαδόσει τοῦ Εὐαγγελίου τῆς χάριτος καί ἀνακράζων· οὐκ ἔχω πόλιν μένουσαν ᾧδε ἤθλησας ὑπέρ τῆς πίστεως ἄριστα.

Ὑψιπέτα εὐσεβείας ἀετέ καί χρηστότητος, πτέρυγας ψυχῆς σου Παύλου διδαχαῖς διεπέτασας πρός δυσαντίβλεπτα ὕψη τελειότητος· ὅθεν ἔτυχες χαρᾶς ἀφθίτου, Ὀνήσιμε.

**Θεοτοκίον.**

Λαμπροχίτωνας σούς δούλους, Θεοτόκε, εἰσάγαγε εἰς εὐκλείας δόμους τῆς ἀτελευτήτου σῇ χάριτι ψυχῶν ἡμῶν τήν στολήν ἀποκαθαίρουσα, πολυεύσπλαγχνε, ὡς συμπαθής καί φιλάνθρωπος.

**Ὠδή ε΄. Ἐξέστη τά σύμπαντα.**

Ὁ θεῖος ἀπόστολος, ὁ τῷ οὐρανοβάμονι Παύλῳ ἐν δεσμοῖς ὑπηρέτησας καί μαθητεύσας παρά τούς πόδας αὐτοῦ, Ὀνήσιμος ὁ θεοειδής, μαρτυρίου ἤνυσε στεῤῥοψύχως τό στάδιον.

Νικήσας τόν Τέρτυλον, Ὀνήσιμε ἀπόστολε, λίθους τούς ἀψύχους προσκυνοῦντα Χριστοῦ τήν πίστιν ἄχρι θανάτου τρανῶς ἐκράτυνας καί τῶν εὐσεβῶν δήμους κατηγλάϊσας τῇ γενναίᾳ ἐνστάσει σου.

Ὑμνοῦμεν, Ὀνήσιμε, ἀθλήσεώς σου σκάμματα καί τήν συντριβήν σεπτῶν μελῶν σου, δι᾽ ὧν στεφάνους κατηξιώθης λαβεῖν ἀφθίτου χαρᾶς ἐν τῇ Ἐδέμ καί τῆς ὑπέρ ἔννοιαν ἀϊδίου λαμπρότητος.

www.tezaurliturgic.ro

**Θεοτοκίον.**

Μητράνανδρε Δέσποινα, ἐδείχθης ἐνδιαίτημα εὐπρεπές Κυρίου τῶν ἁπάντων ἐν τῇ νηδύϊ τῇ σῇ πανάγνῳ Αὐτόν χωρήσασα· ὅθεν τῶν πιστῶν ὕμνοις καταστέφει σε μελιχροῖς ἡ ὁμήγυρις.

**Ὠδή στ΄. Τήν θείαν ταύτην.**

Ναός Χριστοῦ ἀγαπήσεως ὀφθείς, πνευματοφόρε Ὀνήσιμε, τούς δεξαμένους σου τόν λόγον ψυχῆς καί σώματος τῇ θείᾳ συνεργείᾳ παθῶν ἀπήλλαξας.

Ὡς ἀποστόλων ὁμότροπον καί Παύλου ὑπηρέτην θειότατον σέ μεγαλύνομεν ὑπέρ Χριστοῦ τόν ἐκχύσαντα αἱμάτων σου ἁγίων ῥοάς, Ὀνήσιμε.

Θεοῦ λυχνία πολύφωτος, ἡ φως Εὐαγγελίου ἐκλάμπουσα σαφῶς τοῖς πέρασιν ἐδείχθης, μάκαρ Ὀνήσιμε· διό σέ πάντες πόθῳ ἀεί γεραίρομεν.

**Θεοτοκίον.**

Ἐκ σοῦ τῆς δόξης ὁ Ἥλιος ἀνέτειλε, Παρθένε, σκοτόμαιναν εἰδώλων πίστεως διασκεδάσας πυρσεύμασιν Αὐτοῦ τῆς ἀληθείας καί ἀγαθότητος.

**Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.**

Τῆς ἀποῤῥήτου τοῦ Θεοῦ ἡμῶν κενώσεως τόν θεῖον κήρυκα, ἐξ ἧς ἡμῖν ἡ λύτρωσις ἀποῤῥέει καί ἡ ἄκρα ἐλευθερία τοῖς ἐχθρῷ δεδουλωμένοις παναλάστορι δοῦλον Κτίσαντος πι-

www.tezaurliturgic.ro

στόν ἀνευφημήσωμεν πόθῳ κράζοντες· χαίροις, μάρτυς Ὀνήσιμε.

## Ὁ Οἶκος

Ἄγαλμα εὐψυχίας καί ψυχῆς εὐγενείας, Ὀνήσιμε ἀπόστολε, ὤφθης· ἐνδυσάμενος γάρ τοῦ φωτός πανοπλίαν, μάρτυς, τήν ἀχλύν ἔλυσας τῆς ἀγνωσίας· ὅθεν σοι κραυγάζομεν ἐν κατανύξει·

Χαῖρε, ἀπόστολε θεηγόρε·
χαῖρε, περίλαμπρε ἀθλοφόρε.

Χαῖρε, Κολοσσῶν ἱερότατον βλάστημα·
χαῖρε, θεϊκῶν χαρισμάτων ἀμάρυγμα.

Χαῖρε, δοῦλε εὐπειθέστατε τοῦ Παντάνακτος Χριστοῦ·
χαῖρε, μάρτυς ἀκατάβλητε, μάστιξ ἄφρονος ἐχθροῦ.

Χαῖρε, τό κατά πνεῦμα Παύλου ἔμφρονος τέκνον·
χαῖρε, κρουνός τό νάμα σωτηρίας ἐκβλύζων.

Χαῖρε, οἰκέτα πάλαι Φιλήμονος·
χαῖρε, ὀλέτα πλάνου ἀλάστορος.

Χαῖρε, φωστήρ ἀλκίμων μαρτύρων·
χαῖρε, πρηστήρ λατρῶν τῶν εἰδώλων.

Χαίροις, μάρτυς Ὀνήσιμε.

## Συναξάριον

Τῇ ΙΕ΄ τοῦ αὐτοῦ μηνός μνήμη τοῦ ἁγίου ἐνδόξου καί πανευ-

www.tezaurliturgic.ro

φήμου Ἀποστόλου Ὀνησίμου τοῦ μάρτυρος.

**Στίχοι**

Εὖ, δοῦλε πιστέ, Ὀνήσιμε, Κυρίου,
ὁ δουλεύσας Παύλῳ ἐν δεσμοῖς ἐκθύμως.

Ὁ ἔνδοξος καί πανεύφημος ἀπόστολος Ὀνήσιμος ὁ Κολοσσαεύς δοῦλος ἦν τοῦ ἐκ τῆς Φρυγίας πλουσίου καί εὐσεβοῦς Φιλήμονος. Οὗτος κρύφα φυγών ἀπό τοῦ κυρίου αὐτοῦ μετέβη εἰς Ῥώμην εἰς ἐπίσκεψιν τοῦ ἀποστόλου τῶν Ἐθνῶν, Παύλου. Τοῦτον κατηχήσας ὁ μέγας κῆρυξ τῆς οἰκουμένης καί υἱόν αὐτοῦ ἐν δεσμοῖς γεννηθέντα ἀποκαλέσας, ἐπανέστειλεν εἰς Φιλήμονα μετ᾽ ἐπιστολῆς, δι᾽ ἧς παρακαλεῖ τόν Φιλήμονα δέξασθαι αὐτόν τόν πρίν ἄχρηστον, νῦν δέ εὔχρηστον (*Φιλημ. 1-22*). Ἐπανακάμψας εἰς Ῥώμην ὁ Ὀνήσιμος ὑπηρέτησεν ἀκαμάτως τῷ Παύλῳ· μετά δέ τό αὐτοῦ μαρτύριον συνελήφθη ὑπό τοῦ ἐπάρχου Τερτύλου καί ἐπέμφθη εἰς Ποτιόλους. Ἐκεῖ ἐλθών καί ὁ Τέρτυλος καί εὑρών αὐτόν ἐμμένοντα ἐν τῇ πίστει σιδηροῖς ῥάβδοις συνέθλασεν αὐτοῦ τά σκέλη καί κακῶς αὐτόν ἀπέκτεινε τόν στέφος παρά Κυρίου ἀθλητικόν λαβόντα.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ ὁ Θεός, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

**Ὠδή ζ΄. Οὐκ ἐλάτρευσαν.**

Ὁλοφώτιστον πυρσόν Θεοῦ τῆς χάριτος σαφῶς ποιήσας σε Παῦλος αὐτοῦ διδαχαῖς ἐν σκότει σε κείμενον σοφῶς ἀνέπεμψε πρός Φιλήμονα ὡς ἀδελφόν, Ὀνήσιμε, καί οὐχί ὡς δοῦλον πλέον.

www.tezaurliturgic.ro

Ὑπερένδοξε, Κολοσσαέων βλάστημα καί ῥόδον πίστεως Κυρίου ἡδυτερπές, κατηύφρανας ἅπαντας πιστούς, Ὀνήσιμε, τήν ἀλλοίωσιν ὁρῶντες τήν ἁγίαν σου καί εὐγένειαν ψυχῆς σου.

Ἐνθεώτατε ἀπόστολε, Ὀνήσιμε, πρός ἐπιγνώσεως φῶς τοῦ πανσόφου Θεοῦ ἐν σκότει διήγειρας κειμένους, πάντιμε, ἀθεΐας τε καί ἀγνωσίας λόγοις σου καί διδάγμασι πυρφόροις.

**Θεοτοκίον.**

Λῦσον, Δέσποινα, παθῶν ἡμῶν σκοτόμαιναν τῶν τυραννούντων με τῷ ἀνεσπέρῳ φωτί Υἱοῦ τοῦ πανσέπτου σου φωταγωγήσαντος πάσης κτίσεως τά πέρατα, Μητρόθεε, Ἰησοῦ τοῦ Φωτοδότου.

**Ὠδή η΄. Παῖδας εὐαγεῖς.**

Ἔνδοξε Ὀνήσιμε, τοῖς ῥείθροις ἐνθέων σου διδαχῶν καί τῶν αἱμάτων σου λύθρῳ καθηγίασας καί πλουσίως ἤρδευσας τῆς Ῥώμης τήν περίχωρον, ἐν ᾗ, θεόσοφε, ὑπό τοῦ ἀποστόλου εἱλκύσθης Παύλου εἰς τήν πίστιν Χριστοῦ τήν παναγίαν.

Ὕμνοις καί ᾠδαῖς τῶν χριστωνύμων οἱ δῆμοι σε ἀναμέλπομεν, Ὀνήσιμε, πόθῳ ἑορτάζοντες τήν ἁγίαν μνήμην σου, οὕς σκέπε καί διάσῳζε ταῖς προστασίαις σου ἐκ πάσης τοῦ ἐχθροῦ ἐπηρείας, βλάβης τε κινδύνων καί νόσων ἀνιάτων.

Θραύσας τοῦ Τερτύλου τήν μανίαν ἐνστάσει σου ἀνδρικῇ, κλεινέ Ὀνήσιμε, σῶν μελῶν ὑπέμεινας θλάσιν ὥσπερ ἄσαρ-

www.tezaurliturgic.ro

κος καί χαίρων πρός τήν ἄληκτον μακαριότητα μετέστης ἀσιγήτως δοξάζων τόν ἐν τῷ σταδίῳ, Χριστόν, ἰσχύσαντά σε.

**Θεοτοκίον.**

Ἐκ τῆς παναχράντου σου νηδύος προσέλαβεν ἀποῤῥήτως σῶμα βρότειον Λόγος ὁ τοῦ Κτίσαντος καί Σωτήρ τῆς κτίσεως, Θεός ὁ Ὑπερούσιος καί κόσμον ἔσωσε κατάρας προπατόρων ἀρχαίας, Κεχαριτωμένη, καί τῆς φθορᾶς θανάτου.

**Ὠδή θ΄. Ἅπας γηγενής.**

Ῥῦσαι συμφορῶν τούς σοῦ ἑορτάζοντας τήν μνήμην, ἔνδοξε, καί πανηγυρίζοντας τήν σήν πρός πόλον σεπτήν ἀνάβασιν, Ὀνήσιμε τρισόλβιε, μάρτυς ἀπόστολε, ὁ λαμπρύνας σκάμμασιν ἀθλήσεως σῆς στεῤῥᾶς Ἐκκλησίαν τοῦ Κτίσαντος.

Ὅλῳ τῷ φωτί τῆς ἄνω λαμπρότητος περιχεόμενος, ἀθλητά Ὀνήσιμε, δενῶν, ἀνάγκης καί περιστάσεως σύν Παύλῳ διδασκάλῳ σου Χριστόν ἱκέτευε τούς τιμῶντας σοῦ τήν μνήμην ῥύεσθαι καί Αὐτῷ σεσωσμένους προσάγαγε.

Νῦν σε μελιχροῖς ᾠδαῖς τε καί ᾄσμασιν εὐήχοις μέλπομεν πόθῳ ἑορτάζοντες τήν σήν φωσφόρον καί θείαν ἄθλησιν καί πόθῳ ἀνακράζομεν· σοφέ Ὀνήσιμε, ῥῦσαι πάντας ζοφερᾶς κολάσεως αἰωνίου τούς σέ μακαρίζοντας.

**Θεοτοκίον.**

Χαῖρε, Μαριάμ, χειμάῤῥους ζωήῤῥυτος πηγάζων ἅπασιν ὕδωρ τό ἀθάνατον τόν Ζωοδότην Χριστόν καί Κύριον ζωο-

www.tezaurliturgic.ro

ποιοῦντα μέροπας ἀπάτη ὄφεως, Θεοτόκε Μῆτερ, τούς τεθνήξαντας πρίν τούς, φεῦ, νῦν φθορᾶς ἀπολαύοντας.

**Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.**

Τόν μαθητήν τόν ἄριστον καί εὐλαβῆ διάκονον ταῖς χρείαις τοῦ ἀποστόλου ἐν φυλακῇ ὄντως Παύλου, Ὀνήσιμον, τιμήσωμεν τόν μαρτυρίου σκάμματα πανευσθενῶς βαδίσαντα, χαῖρε, κραυγάζοντες, δοῦλε καλέ Θεοῦ τοῦ Ὑψίστου.

**Θεοτοκίον.**

Μετά σαρκός κυήσασα Θεόν τόν Ὑπερούσιον τούς πεπτωκότας εἰς χάος τῆς ἀπογνώσεως, Μῆτερ, εἰς δόξης ὕψος εἵλκυσας, Παρθένε, δυσαντίβλεπτον, εἰς ὅ καί πάντας ἕλκυσον τούς μεγαλύνοντας πόθῳ σέ εἰς αἰῶνας αἰώνων.

Εἰς τούς Αἴνους ἱστῶμεν στίχους δ΄ καί ψάλλομεν τά ἑξῆς Προσόμοια.

**Ἦχος πλ. δ΄. Ὢ, τοῦ παραδόξου θαύματος!**

Χάρις τοῦ ἁγίου Πνεύματος ἡ πανσθενής ἀληθῶς ἐν ψυχῇ σου σκηνώσασα, θαυμαστέ Ὀνήσιμε, σέ ἀπόστολον ἔδειξε θεῖον καί φάρον ζωῆς ἀμείνονος· διό σου πάντες τήν μνήμην σέβοντες κράζομεν· πρέσβευε τῷ δοτῆρι, ἅγιε, τῶν ἀγαθῶν πέμψαι τοῖς ἱκέταις σου τό μέγα ἔλεος.

Ὄνησιν ζωῆς μοι βράβευσον ἀγήρω, θεοειδές ἀθλοφόρε, Ὀνήσιμε, τοῦ οὐρανοβάμονος Παύλου τέκνον παμφίλτατον· αὐτοῦ ταῖς χρείαις γάρ ὑπηρέτησας ὅλῃ καρδίᾳ τῇ σῇ καί σκάμματα πίστει ἀθλήσεως εὐκλεοῦς ἐβάδισας, περιφανές

www.tezaurliturgic.ro

κῆρυξ τοῦ Παντάνακτος καί βάθρον πίστεως.

Μνήμην τήν σεπτήν σου σήμερον τελοῦντες, μάρτυς στεῤῥέ καί ἀπόστολε πάνσοφε, θεαυγές Ὀνήσιμε, εὐλαβῶς ἀνακράζομεν· τῆς εὐσεβείας φωστήρ ἀείφωτε καί εὐγενείας ψυχῆς ὑπόδειγμα, πάντοτε πρέσβευε τῷ Σωτῆρι, ἅγιε, ὑπέρ ἡμῶν τῶν μακαριζόντων σου τήν θείαν ἄθλησιν.

Δοῦλε ἀγαθέ τοῦ Κτίσαντος, Κυρίου πάντων ἡμῶν, θεοφόρε Ὀνήσιμε, ὁ τηρήσας φρόνημα τῆς ψυχῆς σου ἀδούλωτον, μή διαλίπῃς τόν πολυεύσπλαγχνον καθικετεύων Χριστόν καί Κύριον πέμψαι ἱκέταις σου ῥώμην καί ὑγίειαν ἄμφω ταχύ τοῖς πιστῶς προφέρουσι τήν θείαν κλῆσίν σου.

**Δόξα. Ἦχος πλ. α΄.**

Ὁ ἀγαθός δοῦλος τοῦ Ὑψίστου, Ὀνήσιμος, τούς τῇ πλάνῃ δουλεύοντας τό δηνάριον δίδωσι τῆς ἐν Χριστῷ ἐλευθερίας, ὅπερ παρέλαβεν ἐκ τοῦ ἀποστόλου Παύλου καί λόγοις καί πράξεσι ἐπολλαπλασίασε· δεῦτε, οὖν, πάντες, αὐτόν κατ᾽ ἀξίαν ἐγκωμιάσωμεν ὡς κήρυκα τοῦ Εὐαγγελίου τῆς χάριτος τόν μαρτυρικῇ ἐνστάσει Χριστόν δοξάσαντα καί παρέχοντα ἡμῖν αὐτοῦ πρεσβείαις τό μέγα καί πλούσιον ἔλεος.

**Καί νῦν. Θεοτοκίον.**

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καί δοξάζομέν σε οἱ πιστοί κατά χρέος, τήν πόλιν τήν ἄσειστον, τό τεῖχος τό ἄῤῥητον, τήν ἀῤῥαγῆ προστασίαν, καί καταφυγήν τῶν ψυχῶν ἡμῶν.

**Δοξολογία Μεγάλη καί Ἀπόλυσις.**

www.tezaurliturgic.ro

## ΕΝ ΤΗ ΛΕΙΤΟΥΡΓΙΑ

Τά Τυπικά, οἱ Μακαρισμοί καί ἐκ τοῦ Κανόνος τοῦ Ἀποστόλου ἡ γ΄ καί ἡ στ΄ ᾠδή.

**Ἀπόστολος: Πρός Φιλήμονα (Στιχ. 1-25).**

Παῦλος δέσμιος Ἰησοῦ Χριστοῦ...

(Ζήτει τῇ ΚΒ΄ Νοεμβρίου. Μνήμη τοῦ ἀποστόλου Φιλήμονος)

**Εὐαγγέλιον κατά Ματθαῖον (Κεφ. ε΄ 14-19).**

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Ὑμεῖς ἐστε τό φῶς τοῦ κόσμου...

(Ζήτει τῇ ΙΗ΄ Ἰανουαρίου)

**Κοινωνικόν.**

Εἰς πᾶσαν τήν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτοῦ...

**Μεγαλυνάριον**

Δοῦλε τοῦ Φιλήμονος ἀγαθέ, δοῦλος τοῦ Κυρίου ἀνεδείχθης ὄντως πιστός διδαχαῖς ὑπείκων τοῦ θεηγόρου Παύλου, Ὀνήσιμε, μαρτύρων πίστεως κλέϊσμα.

www.tezaurliturgic.ro

**Δίστιχον**

Ὀνήσιμον πᾶσι δεῖξον Χαραλάμπη
σέ ὑμνολογοῦντα, Ὀνήσιμε μάκαρ.

**Τέλος καί Δόξα τῷ μόνῳ ἀληθινῷ Θεῷ ἡμῶν.**



www.tezaurliturgic.ro

